τοῦ ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοϋψὴς τῷ κώ-
νῳ. ἡ ἄρα ἀναγραφεῖσα πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμι-
συ τοῦ κώνου. ἐπειδήπερ ἐὰν περιγράψωμεν περὶ
τὸν κύκλον τετράγωνον καὶ ἀπ᾽ αὐτοῦ ἀναγράψωμεν πυ-
ραμίδα ἰσοϋψῆ τῷ κώνῳ, ἡ ἀναγραφεῖσα πυραμὶς
ἡμίσους ἐστὶ τῆς περιγραφείσης· πρὸς ἀλλήλας γάρ
εἰσιν ὡς αἱ βάσεις· ἐλάττων δὲ ὁ κῶνος τῆς περι-
γραφείσης πυραμίδος· τετμήσθωσαν αἱ ΕΖ ΖΗ ΗΘ
ΘΕ περιφέρειαι δίχα κατὰ τὰ ΟΠΡΣ σημεῖα· καὶ ἐπε-
ζεύχθωσαν αἱ ΘΟ ΟΕ ΕΠ ΠΖ ΖΡ ΡΗ ΗΣ ΣΘ· ἕκαστον ἄρα
τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμι-
συ τοῦ καθ᾽ ἑαυτὸ τμήματος τοῦ κύκλου· ἀναγεγράφθω
ἀφ᾽ ἑκάστου τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων πυ-
ραμὶς ἰσοϋψὴς τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀνα-
γραφεισῶν πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ
καθ᾽ ἑαυτὴν τμήματος τοῦ κώνου· τέμνοντες δὴ
τὰς ὑπολειπομένας περιφερείας δίχα καὶ ἐπιζεύ-
γνύντες εὐθείας καὶ ἀνιστάντες ἐφ᾽ ἑκάστου τῶν τριγώ-
νων πυραμίδας ἰσοϋψεῖς τῷ κώνῳ καὶ ἀεὶ τοῦτο ποι-
οῦντες. καταλείψομέν τινα ἀποτμήματα τοῦ κώνου
ἃ ἔσται ἐλάσσονα τοῦ Ξ στερεοῦ· λελείφθω καὶ ἔστω
τὰ ἐπὶ τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ· λοιπὴ ἄρα ἡ πυρα-
μὶς ἧς βάσις τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον· ὕψος δὲ
τὸ αὐτὸ τῷ κώνῳ, μείζων ἐστὶ τοῦ Ξ στερεοῦ· ἐγγε-
γράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΘΟΕΠ ΖΡΗΣ πο-
λυγώνῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον πολύγωνον

./. ἡ ἐν τῷ πυραμὶς ἧς βάσις τὸ ΕΖΗΘ [illegible] κορυφὴ ἡ αὐτὴ τοῦ κώνου, μείζων ἢ τὸ ἥμισυ τοῦ κώνου.

Εἰσὶ τὰ [illegible] στερεὰ [illegible] ἐν [illegible] ΕΠΖ ΖΡΗ ΗΣΘ ἀποτμήματα [illegible] τοῦ Ξ στερεοῦ· λοιπὴ ἡ πυραμὶς ἧς βάσις τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ [illegible] τοῦ Ξ στερεοῦ.

τὸ ΑΤΔΥ ΒΦΓΧ. καὶ ἀνεστάτω ἐπ᾽ αὐτοῦ πυραμὶς ἰσοϋψὴς
τῷ ΑΛ κώνῳ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ
ἀπὸ τῆς ΕΗ. οὕτως τὸ ΑΤΔΥ ΒΦΓΧ πολύγωνον πρὸς
τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον· ὡς δὲ τὸ ἀπὸ τῆς ΑΓ πρὸς
τὸ ἀπὸ τῆς ΕΗ. οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύ-
κλον. οὕτως τὸ ΑΤΔΥ ΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ
ΖΡΗΣ πολύγωνον· ὡς δὲ ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον. οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ στερεόν· ὡς δὲ
τὸ ΑΤΔΥ ΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ ΖΡΗΣ πολύ-
γωνον. οὕτως ἡ πυραμὶς ἧς, βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ
πολύγωνον κορυφὴ δὲ τὸ Λ σημεῖον πρὸς τὴν πυρα-
μίδα ἧς, βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον. κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· καὶ ὡς ἄρα ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ
στερεόν. οὕτως ἡ πυραμὶς ἧς, βάσις μὲν τὸ ΑΤΔΥ ΒΦΓΧ
πολύγωνον. κορυφὴ δὲ τὸ Λ σημεῖον πρὸς τὴν πυρα-
μίδα ἧς, βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον. κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ ΑΛ κῶνος
πρὸς τὴν ἐν αὐτῷ πυραμίδα. οὕτως τὸ Ξ στερεὸν
πρὸς τὴν ἐν τῷ ΕΝ κώνῳ πυραμίδα· μείζων δὲ ὁ ΑΛ
κῶνος τῆς ἐν αὐτῷ πυραμίδος· μεῖζον ἄρα καὶ τὸ Ξ
στερεὸν τῆς ἐν τῷ ΕΝ κώνῳ πυραμίδος· ἀλλὰ καὶ ἔλασ-
σον. ὅπερ ἄτοπον· οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος
πρὸς τὸν ΕΖΗΘ κύκλον. οὕτως ὁ ΑΛ κῶνος πρὸς ἔλασ-
σόν τι τοῦ ΕΝ κώνου στερεόν· ὁμοίως δὴ δείξομεν ὅτι
οὐδέ ἐστιν ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον.

λίέη.

[illegible] ιβ
[illegible] ΑΥ
ὑπόκειται

./. ἐν ἄλλῳ
τὸ ΑΤΔΥ ΒΦΓΧ
πολύγωνον

διὰ τὸ β΄ τοῦ ιβ΄

[illegible]

[illegible]

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo